3 εἴπωμεν δέ τι καὶ περὶ Θησέως. ἰστέον ὅτι οἱ ἱστορικοὶ
πολλὰ μυθώδη ὡς ἱστορίας λέγουσιν· οὕτω γ᾽οὖν φασιν
αὐτόχθονας εἶναι τοὺς Ἀθηναίους καὶ μὴν μυθῶδες καὶ παν-
τελῶς ἀνόητον. μῦθος γάρ ἐστιν, ὅτι, ὅτε ὁ Ἥφαιστος ἀπέτε-
μεν τὴν κεφαλὴν τοῦ Διός, ἐξῆλθεν ἡ Ἀθηνᾶ, καὶ ἤρξατο
διώκειν αὐτὴν ὁ Ἥφαιστος, ὡς θέλων μιγῆναι, εἶτα μὴ κα-
ταλαβὼν ἀπεσπέρμαινεν ἐν τῇ γῇ, καὶ ἐγένετο ὁ Ἐριχθόνιος,
ἐξ οὗ οἱ Ἀττικοί. ἰδοὺ οὖν, ὅτι ταῦτα ὡς ἱστορίας οἱ ἱστο-
ρικοὶ παραλαμβάνουσιν. ἔδει δὲ κατὰ Πλάτωνα αὐτόχθονας
εἰπεῖν. λέγει γὰρ αὐτός· ὅτι εἴπωμεν τοὺς ἐν πόλει αὐτόχθονας
ψευσάμενοι Φοινίκιόν τι· ἔστι δὲ Φοινίκιον τὸ τοῦ Κάδμου,
ὅτι ἔσπειρεν ὀδόντας δράκοντος καὶ ἀνῆλθον· ὀδόντας οὖν ἂν
θρέψωμεν τοὺς ἀνθρώπους ψευσώμεθα, καὶ εἴπωμεν αὐτοὺς
αὐτόχθονας, ἵνα μὴ μόνον ὡς θρεψαμένην εὐεργετήσωσι τὴν
πόλιν, ἀλλὰ καὶ ὡς ἐνεγκαμένην καὶ μὴ ὡς ξένοι πολιτεύ-
4 σωνται. οὐ δεῖ οὖν τὰ μυθώδη παραδέχεσθαι, ἀλλ᾽ εἰδέναι, ὅτι
δράκων μέν ἐστιν ἡ μερικὴ τῶν ψυχῶν ζωή· ὥσπερ γὰρ οὗτος
ἀποδύεσθαι τὸ γῆρας λέγεται, οὕτως καὶ ἡ ψυχὴ τῷ ἀεὶ ἔρ-
χεσθαι εἰς τὴν γένεσιν νεάζει· γῆ δέ ἐστι τὸ περίγειον τῆς
ψυχῆς φρόνημα, ὀδόντες δὲ τὸ μεριστὸν τῆς ζωῆς, ἐπειδὴ
τοῖς ὀδοῦσι μερίζομεν τὴν τροφὴν καὶ καταλεαίνομεν· πάλιν
Χίμαιράν φασιν τὴν ἔχουσαν λέοντος εἶδος καὶ δράκοντος, καί
τινες ἀλληγοροῦντες χείροσι περιπίπτουσιν. φασὶν γὰρ ὅτι λέων
καὶ δράκων γεγόνασιν ἄνδρες δεινοί· ὁ δὲ φιλόσοφος Ἀμμώ-
νιος ἔφη· ὅτι ἐμοὶ εἶπεν πολλάκις ὁ Σόλων, ὁ τῆς Ἀλεξαν-
δρείας γενόμενος στρατηλάτης, ὅτι οὔ, ἀλλ᾽ ἐν Λυκίᾳ ἐγένετο
γυνή, ἥτις ἐκαλεῖτο Χίμαιρα, καὶ αὕτη ἔτεκεν δύο τέκνα
Λέοντα καὶ Δράκοντα καλούμενα. παντελῶς δὲ ἀνόητα ταῦτα,
ἀλλὰ διὰ μὲν τοῦ λέοντος οἱ ποιηταὶ τὸ ἐν ἡμῖν θυμοειδὲς
σημαίνουσι, διὰ δὲ τοῦ δράκοντος τὸ ἐν ἡμῖν ἐπιθυμητικόν.
5 καὶ πάλιν, ἵνα ἔλθωμεν εἰς τὸν Θησέα, φασὶν ὅτι Πασιφάη

---

9 Plat. reip. III 414 c; legg. II 663 e; Tim. 23 e; Critiae 109 c

---

1 mg. τὰ περὶ Θησέως 11 mg. τῶν περὶ Κάδμου ἀλληγο-ρία 22 mg. τῶν περὶ Χιμαίρας ἀλληγορία 31 mg. τῶν περὶ Πασιφάης καὶ Μινωταύρου καὶ Ἀριάδνης ἀλληγορία

---

1 ἰστέον] seqq. ∸ ∸ in ras. 11 Φοινίκιόν] seq. ∸ in ras.